μάντεων καὶ οἱ χρησμολόγοι. οὗτοι γὰρ οὔτε φύσει τοιοῦτοι γίγνονται οὔτε τέχνῃ, ἀλλ' ἐπιπνοίᾳ ἐκ τῶν θεῶν γιγνόμενοι τοιοῦτοί εἰσιν. οὕτω δὲ καὶ οἱ ἄνδρες οἱ ἀγαθοὶ λέγουσι ταῖς πόλεσιν ἑκάστοτε τὰ ἀποβησόμενα καὶ τὰ
d μέλλοντα ἔσεσθαι ἐκ θεοῦ ἐπιπνοίας πολὺ μᾶλλον καὶ ἐναργέστερον ἢ οἱ χρησμῳδοί. λέγουσιν δέ που καὶ αἱ γυναῖκες ὅτι Θεῖος ἀνὴρ οὗτός ἐστι· καὶ Λακεδαιμόνιοι ὅταν τινὰ μεγαλοπρεπῶς ἐπαινῶσιν, θεῖον ἄνδρα φασὶν εἶναι. πολλαχοῦ δὲ καὶ Ὅμηρος τῷ αὐτῷ τούτῳ καταχρῆται καὶ οἱ ἄλλοι ποιηταί. καὶ ὅταν βούληται θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλις, ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκ ταύτης τῆς πόλεως ὁ θεός. οὕτως ἔοικεν οὔτε διδακτὸν εἶναι οὔτε φύσει ἀρετή, ἀλλὰ θείᾳ μοίρᾳ παραγίγνεται κτωμένοις.

St. III p. 380

# ΔΗΜΟΔΟΚΟΣ

a Σὺ μὲν δὴ κελεύεις με, ὦ Δημόδοκε, συμβουλεύειν ὑμῖν περὶ ὧν συνέρχεσθε βουλευσόμενοι· ἐμοὶ δὲ σκοπεῖσθαι ἐπέρχεται τί ποτε δύναται ἡ σύνοδος ὑμῶν καὶ ἡ τῶν οἰομένων συμβουλεύειν ὑμῖν προθυμία καὶ ἡ ψῆφος ἣν φέρειν ἕκαστος ὑμῶν διανοεῖται. τοῦτο μὲν γάρ, εἰ μὴ ἔστιν ὀρθῶς καὶ ἐμπείρως συμβουλεύειν περὶ ὧν συνέρχεσθε βουλευσόμενοι, πῶς οὐ γελοῖόν ἐστιν συνέρχεσθαι βουλευσο-
b μένους περὶ ὧν συμβουλεύειν οὐκ ἔστιν ὀρθῶς; τοῦτο δέ, εἰ μὲν ἔστιν ὀρθῶς συμβουλεύειν καὶ ἐμπείρως περὶ τῶν τοιούτων, ἐπιστήμη δ' ἀφ' ἧς ἔστιν ὀρθῶς συμβουλεύειν καὶ

d 10 παραγίγνεται A Y Z : παραγίγνεσθαι vulg.
a 2 ὧν ξυνέρχεσθε A Z : ὧν ἂν συνέρχησθε Y (et mox a 6) b 2 μὲν ἔστιν Y Z et in marg. A³ : om. A b 3 ἐπιστήμη A Y Z : ἔστιν ἐπιστήμη A² (ἐστὶν in marg.) O δ' Y Z et δὲ s. v. A² : om. A καὶ ἐμπείρως A : om. Y Z

ἐμπείρως περὶ τούτων μηδεμία ἐστίν, πῶς οὐκ ἄτοπον; εἰ δέ
τις ἐπιστήμη ἀφ' ἧς ἔστιν τὰ τοιαῦτα ὀρθῶς συμβουλεύειν,
οὐκ ἀνάγκη καὶ ἐπισταμένους εἶναί τινας συμβουλεύειν
ὀρθῶς περὶ τῶν τοιούτων; ὄντων δέ τινων ἐπισταμένων
συμβουλεύειν περὶ ὧν συνέρχεσθε βουλευσόμενοι, οὐκ ἀνάγκη
ἐστὶ καὶ ὑμᾶς ἤτοι ἐπίστασθαι περὶ τούτων συμβουλεύειν c
ἢ μὴ ἐπίστασθαι, ἢ τοὺς μὲν ἐπίστασθαι ὑμῶν, τοὺς δὲ μὴ
ἐπίστασθαι; εἰ μὲν οὖν ἐπίστασθε πάντες, τί δεῖ ἔτι ὑμᾶς
συνέρχεσθαι βουλευσομένους; συμβουλεύειν γὰρ ἱκανὸς
ἕκαστος ὑμῶν. εἰ δ' αὖ πάντες μὴ ἐπίστασθε, πῶς ἂν
δύναισθε βουλεύεσθαι; ἢ τί ὑμῖν προύργου τῆς συνόδου
ταύτης εἴη ἂν μὴ δυναμένων γε βουλεύεσθαι; εἰ δὲ οἱ μὲν
ἐπίστανται, οἱ δὲ οὐκ ἐπιστάμενοί εἰσιν ὑμῶν, οὗτοι δὲ d
συμβουλῆς δέονται, εἰ ἄρα δυνατόν ἐστιν συμβουλεύειν
ἔμφρονα ἄνδρα τοῖς ἀπείροις, ἱκανὸς δήπου ἐστὶ καὶ εἷς
συμβουλεῦσαι τοῖς ἐπισταμένοις ὑμῖν. ἢ οὐ ταὐτὰ οἱ ἐπιστάμενοι συμβουλεύουσιν πάντες; ὥστ' ἀκούσαντας ὑμᾶς τούτου
ἀπαλλάττεσθαι προσήκει. νῦν δ' οὐ ποιεῖτε τοῦτο, ἀλλὰ
βούλεσθε πολλῶν συμβουλευόντων ἀκούειν. οὐ γὰρ ὑπολαμβάνετε εἰδέναι τοὺς ἐπιχειροῦντας ὑμῖν συμβουλεύειν
περὶ ὧν συμβουλεύουσιν. εἰ γὰρ ὑπελαμβάνετε εἰδέναι
τοὺς συμβουλεύοντας ὑμῖν, ἑνὸς μόνου ἀκούσασιν ἐξήρκει ἂν
ὑμῖν. τὸ οὖν συνέρχεσθαι ἀκουσομένους μὴ εἰδότων ὡς 381
προύργου τι ποιοῦντας, πῶς οὐκ ἄτοπόν ἐστιν; καὶ περὶ μὲν
τῆς συνόδου ὑμῶν ἀπορῶ ταύτῃ.

b 4 μηδεμία] εἰ δὲ μηδεμία A[2] (εἰ δὲ in marg.) ἐστί A Z : om. Y εἰ δέ τις ἐπιστήμη ἀφ' Y Z et in marg. A[3] : εἰ δέ τις ** μη· ἀφ' A (ἐπιστή in ras. scripsit a) b 5 συμβουλεύειν A Z : συμβουλεύειν οἷόν τε Y b 8 ξυνέρχησθε Y c 1 ὑμᾶς A Y : ἡμᾶς Z c 5 πάντες μὴ A Y : μὴ πάντες Z c 6 δύναισθε] δύνασθε A (sed ασ in ras.) Z : δύνησθε Y ὑμῖν Y Z : ἡμῖν A d 1 ἡμῶν Z (qui saepius sic peccat) δὲ] οὐδὲ in marg. A[3] et in textu fecit a d 3 ἀπείροις . . . d 4 τοῖς Y et in marg. A[3] Z[2] : om. A Z d 4 ἢ in marg. A[2] : ἢ A οἱ Y Z : om. A d 5 ὑμᾶς scr. recc. : ἡμᾶς A Y Z τούτου scr. Ven. 184 : τούτους A Y Z d 9 ὑπελαμβάνετε Z : ὑπολαμβάνετε A Y

Περὶ δὲ τῆς τῶν οἰομένων ὑμῖν συμβουλεύειν προθυμίας
ἐκεῖνο ἄπορον· εἰ μὲν γὰρ μὴ ταὐτὰ συμβουλεύουσι περὶ τῶν
αὐτῶν συμβουλεύοντες, πῶς ἂν πάντες καλῶς συμβουλεύοιεν,
μὴ συμβουλεύοντες ἃ συμβουλεύει ὁ ὀρθῶς συμβουλεύων;
b ἢ πῶς ἂν οὐκ ἄτοπος εἴη ἡ προθυμία τῶν προθυμουμένων
συμβουλεύειν περὶ ὧν ἀπείρως ἔχουσιν; οὐ γὰρ δὴ ἔμπειροι
ὄντες προαιρήσονται συμβουλεύειν μὴ ὀρθῶς. εἰ δ' αὖ
ταὐτὰ συμβουλεύουσι, τί δεῖ πάντας αὐτοὺς συμβουλεύειν;
εἷς γὰρ αὐτῶν τὰ αὐτὰ συμβουλεύων ἱκανὸς ἔσται. τὸ οὖν
τοιαῦτα προθυμεῖσθαι ἃ οὐδὲν προύργου ἂν γένοιτο, πῶς οὐ
γελοῖον; οὔτε οὖν ἡ τῶν ἀπείρων προθυμία οὐκ ἂν ἄτοπος
c εἴη, τοιαύτη γε οὖσα, οὔτε ἔμφρονες ἂν τοιαῦτα προθυμηθεῖεν,
εἰδότες ὅτι καὶ εἷς τις αὐτῶν τὸ αὐτὸ πράξει συμβουλεύων
γε ὡς προσήκει. ὥστε πῶς οὐ γελοῖός ἐστιν ἡ προθυμία
τῶν οἰομένων ὑμῖν συμβουλεύειν; οὐ δύναμαι εὑρεῖν.

Τὸ δὲ περὶ τῆς ψήφου ἧς φέρειν διανοεῖσθε τί δύναται,
ἀπορῶ μάλιστα. πότερον γὰρ τοὺς εἰδότας συμβουλεύειν
κρίνετε; ἀλλ' οὐ πλείονες ἑνὸς συμβουλεύσουσιν οὐδ' ἄλλως
καὶ ἄλλως περὶ τοῦ αὐτοῦ· ὥστε περὶ τούτων μὲν τὴν ψῆφον
d φέρειν ὑμᾶς οὐ δεήσει. ἀλλὰ τοὺς ἀπείρους καὶ ὡς μὴ δεῖ
συμβουλεύοντας κρίνετε; ἢ τοῖς τοιούτοις ὡς μαινομένοις
οὐκ ἐπιτρέπειν συμβουλεύειν προσήκει; εἰ δὲ μήτε τοὺς
ἐμπείρους μήτε τοὺς ἀπείρους κρινεῖτε, τίνας κρίνετε; ἀρχὴν
δὲ τί δεῖ πάντως ἄλλους συμβουλεύειν ὑμῖν, εἴπερ κρίνειν
τὰ τοιαῦτα ἱκανοί ἐστε; εἰ δ' αὖ μὴ ἐστὲ ἱκανοί, τί καὶ
δύνανται ὑμῖν αἱ ψῆφοι; ἢ πῶς οὐ γελοῖόν ἐστιν συνέρχεσθαι
e μὲν ὑμᾶς συμβουλευσομένους, ὡς δεομένους συμβουλίας καὶ
οὐχ ἱκανοὺς ὄντας αὐτούς, συνελθόντας δὲ οἴεσθαι δεῖν ψη-

a 7 ὁ A Z : om. Y  b 1 ἂν οὐκ A Z : οὐκ ἂν Y  c 1 ἔμφρονες A Y : οἱ ἔμφρονες Z  c 3 γε O² (γ s. v.) : τε A Y Z  c 7 πλείονες Y : πλείονος A Z  c 8 μὲν A Z : om. Y  d 1 καὶ Y : om. A Z  d 2 κρίνετε A : κρινεῖτε Y : κρίνει τε Z  d 4 κρινεῖτε re vera A  τίνας κρίνετε Y et in marg. A² : om. A Z  d 5 δὲ Z et (post τί) Y : om. A  δεῖ A Z : om. Y  ἄλλους Y : ἄλλως A (sed ου supra ως A²) : ἄλλωσε Z  d 6 καὶ Y : om. A Z

φίζεσθαι, ὡς κρίνειν ἱκανοὺς ὄντας; οὐ γὰρ δὴ καθ' ἕνα μὲν
ὄντες οὐκ οἴδατε, συνελθόντες δὲ φρόνιμοι γίγνεσθε· οὐδ'
αὖ ἰδίᾳ μὲν ἀπορεῖτε, ἐλθόντες δὲ εἰς τὸ αὐτὸ οὐκέτι ἀπορεῖτε,
ἀλλ' ἱκανοὶ γίγνεσθε συνορᾶν ποῖα πρακτέα ἐστὶν ὑμῖν, καὶ
ταῦτα παρ' οὐδενὸς μαθόντες οὐδ' αὐτοὶ εὑρόντες, ὅ ἐστιν
δεινότατον ἁπάντων. οὐ γὰρ δή, μὴ δυνάμενοί γε συνορᾶν
ἃ πρακτέον ἐστίν, κρίνειν ἱκανοὶ ἔσεσθε τὸν ὀρθῶς συμβου- 382
λεύοντα περὶ τούτων ὑμῖν. οὐδ' αὖ τοῦτό γε ἐρεῖ εἷς ὢν ὁ
συμβουλεύων ὑμῖν οὗτος ὑμᾶς διδάξειν ἃ πρακτέον ὑμῖν ἐστιν,
καὶ κρίνειν τοὺς κακῶς καὶ μὴ συμβουλεύοντας ὑμῖν, οὕτως
ἐν ὀλίγῳ χρόνῳ καὶ ὄντας τοσούτους. τοῦτο δὲ ἐκείνου
οὐδὲν ἧττον ἂν φανείη δεινὸν ὄν. εἰ δὲ μήθ' ἡ σύνοδος
μήθ' ὁ συμβουλεύων ὑμῖν ἱκανοὺς κρίνειν ποιεῖ ὑμᾶς, τίς
χρεία τῶν ψήφων ἐστὶν ὑμῖν; ἢ πῶς οὐκ ἐναντιοῦται ἡ
σύνοδος ὑμῶν ταῖς ψήφοις καὶ αἱ ψῆφοι τῇ τῶν συμβουλευόν- b
των ὑμῖν προθυμίᾳ; ἡ μὲν γὰρ σύνοδός ἐστιν ὑμῶν ὡς οὐχ
ἱκανῶν ἀλλὰ συμβούλων δεομένων, αἱ δὲ ψῆφοι φέρονται ὡς
οὐ συμβούλων δεομένων ἀλλὰ καὶ κρίνειν καὶ συμβουλεύειν
δυναμένων. καὶ ἡ μὲν προθυμία τῶν συμβουλευόντων ὑμῖν
ὡς εἰδότων ἐστίν, αἱ δὲ παρ' ὑμῶν ψῆφοι ὡς οὐκ εἰδότων
τῶν συμβουλευόντων φέρονται. καὶ εἴ τις ὑμᾶς ἔροιτο τοὺς
ψηφισαμένους, καὶ τὸν συμβουλεύσαντα ὑμῖν περὶ ὧν ἂν c
ψηφίσησθε, πότερον ἴστε ὅτι ἔσται οὗ ἕνεκα πράττειν δια-
νοεῖσθε ἃ ἐψηφίσασθε, οὐκ οἴομαι ἂν φῆσαι ὑμᾶς. τί δ',
εἰ γένοιτο οὗ ἕνεκα πράττειν διανοεῖσθε, ἴστε ὅτι συνοίσει
τοῦτο ὑμῖν; οὐδὲ τοῦτο ἂν φῆσαι οἴομαι ὑμᾶς οὐδὲ τὸν
συμβουλεύοντα ὑμῖν. τῶν ἀνθρώπων δὲ τίνα ὑπολαμβάνετε
εἰδέναι τι τούτων; εἴ τις προσέροιτο ὑμᾶς, οὐδὲ τοῦτο συγ-
χωρεῖν ἂν οἴομαι ὑμᾶς. ὅταν οὖν περί τε ὧν συμβουλεύετε
ᾖ τοιαῦτα οἷα ὑμῖν μὴ δῆλα εἶναι, οἵ τε ψηφιζόμενοι καὶ οἱ d
συμβουλεύοντες ἄπειροι ὦσιν, εἰκότως καὶ ὑμεῖς φήσετε

e 4 οὐδ' A Z : εἰ δ' Y   a 3 διδάξειν Y : διδάξει A Z   a 4 κρινεῖν Bekker   a 6 ὄν Y : om. A Z   a 7 ἱκανοὺς Y Z et fecit A[2] : ἱκανὸς A   c 8 ἂν A Y : om. Z

συμπίπτειν ἀπιστεῖν καὶ μεταμέλεσθαι πολλάκις αὐτοῖς καὶ περὶ ὧν ἂν συμβουλεύσωνται καὶ περὶ ὧν ἂν ψηφίσωνται. τοῖς ἀγαθοῖς δὲ τοιαῦτα συμβαίνειν οὐ προσήκει. ἴσασι γὰρ καὶ περὶ ὧν συμβουλεύουσιν ποῖά τ' ἐστίν, καὶ τοῖς πεισθεῖσιν αὐτοῖς ὅτι βεβαίως ὑπάρχει ὧν ἕνεκα συμβουλεύουσιν, καὶ ὅτι οὔτε αὐτοῖς οὔτε τοῖς πεισθεῖσιν αὐτοῖς
e πώποτε μεταμελήσει. περὶ τοιούτων οὖν ἔγωγε τοὺς νοῦν ἔχοντας συμβουλεύειν ἀξιοῦν ὑπελάμβανον, ἀλλ' οὐ περὶ ὧν σὺ κελεύεις με συμβουλεύειν. ἀπὸ μὲν γὰρ τῆς ἐκείνων συμβουλίας τὸ τέλος εὐτυχία, ἀπὸ δὲ τῆς τούτων φλυαρίας ἀτυχία ἐστίν.

Παρεγενόμην δ' ἀνθρώπῳ τινὶ νουθετοῦντι ἑαυτοῦ ἑταῖρον, διότι ἐπίστευεν τῷ κατηγοροῦντι οὐκ ἀκούσας τοῦ ἀπολογουμένου ἀλλὰ μόνου τοῦ κατηγοροῦντος. ἔλεγεν οὖν ὡς δεινὸν πρᾶγμα ποιοῖ καταγιγνώσκων τοῦ ἀνθρώπου, οὔτε αὐτὸς
383 παραγενόμενος οὔτε τῶν φίλων ἀκούσας παραγενομένων, οἷς εἰκὸς ἦν αὐτὸν λέγουσιν πιστεύειν· οὐδ' αὖ ἀμφοτέρων ἀκούσας, οὕτως προπετῶς ἐπίστευσε τῷ κατηγοροῦντι. δίκαιον δὲ εἶναι καὶ τοῦ ἀπολογουμένου ἀκοῦσαι πρὸ τοῦ ἐπαινεῖν ἢ μέμφεσθαι, ὥσπερ καὶ τοῦ κατηγοροῦντος. πῶς γὰρ ἄν τις ἢ δίκην καλῶς δικάσαι ἢ ἀνθρώπους κατὰ τρόπον κρῖναι δύναιτο, μὴ ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσας; τοὺς γὰρ
b λόγους παραβαλλομένους, ὥσπερ τὴν πορφύραν καὶ τὸ χρυσίον, ἄμεινον κρίνεσθαι. ἢ τίνος ἕνεκεν ἢ χρόνον ἀμφοτέροις δίδοσθαι τοῖς ἀντιδίκοις, ἢ ὀμνύειν τοὺς δικαστὰς ἀκροάσασθαι ὁμοίως ἀμφοτέρων, εἰ μὴ ὑπελάμβανεν ὁ νομοθέτης τὰς δίκας δικαιότερον ἂν καὶ βέλτιον κρίνεσθαι ὑπὸ τῶν δικαστῶν; σὺ δέ μοι δοκεῖς οὐδὲ τοῦτο τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον ἀκηκοέναι. Τὸ ποῖον; ἔφη.

c Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.

d 6 ποῖά A Y : ὁποῖά Z O$^{2}$ e 7 ἐπίστευεν A Y : ἐπίστευσε Z e 8 μόνου Z : μόνον A Y e 9 ποιοῖ Z : ποιοῖτο A Y a 6 κρῖναι corr. Y Z : κρίνας A Y b 3 ἀκροάσασθαι A Y Z : ἀκροάσεσθαι Bekker b 5 ἂν Z O$^{2}$ : om. A O

καίτοι οὐκ ἂν οὕτω τοῦτο περιεφέρετο, εἰ μὴ καλῶς ἐλέγετο καὶ ὡς προσήκει. συμβουλεύω οὖν σοι, ἔφη, τοῦ λοιποῦ μὴ προπετῶς οὕτως τοὺς ἀνθρώπους μήτε μέμφεσθαι μήτ' ἐπαινεῖν.

Ὁ οὖν ἑταῖρος ἄτοπον ἔφη ἑαυτῷ καταφαίνεσθαι εἰ ἕνα μὲν γνῶναι λέγοντα πότερον ἀληθεύει ἢ ψεύδεται οὐ δυνατόν, δύο δὲ λέγοντας γνῶναι δυνατὸν ἔσται· καὶ παρὰ μὲν τοῦ ἀληθῆ λέγοντος μαθεῖν οὐ δυνατόν, ὑπὸ τούτου δ' αὐτοῦ καὶ d ἄλλου ψευδομένου διδαχθῆναι ταὐτὰ οἷόν τε· καὶ εἰ ὁ μὲν εἷς ὀρθῶς καὶ ἀληθῆ λέγων ἐμφανίσαι ἃ λέγει οὐ δυνήσεται, δύο δέ, ὧν ὁ ἕτερος ψεύσεται καὶ οὐκ ὀρθῶς ἐρεῖ, δυνήσονται ἐμφανίσαι τοῦτο ὃ ὁ λέγων ὀρθῶς ἐμφανίσαι οὐχ οἷός τ' ἦν. ἀπορῶ δ', ἔφη, κἀκεῖνο, πῶς ποτε ἐμφανιοῦσι. πότερον γὰρ σιωπῶντες ἢ λέγοντες; εἰ μὲν γὰρ σιωπῶντες ἐμφανιοῦσιν, οὐδετέρου ἂν δέοι, μήτι γε ἀμφοτέρων, ἀκούειν· εἰ δὲ λέγοντες ἀμφότεροι ἐμφανιοῦσιν, ἀμφότεροι δὲ κατ' οὐδένα e τρόπον λέγουσιν—ἐν μέρει γὰρ λέγειν ἑκάτερον ἀξιοῦσιν—πῶς ἀμφοτέρους ἐμφανίσαι ἅμα οἷόν τε; εἰ γὰρ ἐμφανιοῦσιν ἅμα ἀμφότεροι, καὶ ἐροῦσιν τότε ἅμα. τοῦτο δ' οὐκ ἐῶσιν. ὥστε λοιπόν, εἴπερ λέγοντες ἐμφανιοῦσιν, ἑκάτερος εἰπὼν ἐμφανιεῖ· καὶ ὁπότε γε ἐρεῖ ἑκάτερος, τότε καὶ ἐμφανιεῖ ἑκάτερος αὐτῶν. ὥστ' ἐρεῖ ὁ μὲν πρότερος, ὁ δ' ὕστερος· καὶ ἐμφανιεῖ ὁ μὲν πρότερος, ὁ δ' ὕστερος. καίτοι εἴπερ ταὐτὸ ἐν μέρει ἐμφανιοῦσιν ἑκάτεροι, τί δεῖ ἔτι τοῦ ὑστέρου ἀκούειν; ὑπὸ γὰρ τοῦ πρότερον εἰπόντος ἤδη φανερὸν ἔσται. ἐκεῖνο δ', ἔφη, εἴπερ ἀμφότεροι ἐμφανιοῦσιν, πῶς οὐ καὶ ὁ 384 ἕτερος αὐτῶν ἐμφανιεῖ; ὧν γὰρ ὁ ἕτερος οὐκ ἐμφανιεῖ, οὗτοι ἀμφότεροι πῶς ἂν ἐμφανίσαι δύναιντο; εἰ δ' ἑκάτερος ἐμφανιεῖ, δῆλον ὅτι ἐρεῖ πρότερος καὶ ἐμφανιεῖ πρότερος· ὥστ' ἐκείνου μόνου ἀκούσαντα γνῶναι πῶς ἐστιν οὐχ οἷόν τε.

c 6 ἑταῖρος corr. Y (αι s. v.) : ἕτερος A Y  d 2 ταῦτα οἷόν τε Y : δυνατὸν ταῦτα οἷόν τε A Z  d 5 ὁ Y : om. A Z  d 6 γρ. ἐμφανιοῦσι Z : ἐμφαίνουσι A Y Z  e 3 ἐμφανιοῦσιν (et mox e 5) : ἐμφαίνουσιν libri  a 1 ἔφη Y : ἔφης A : ἄφης Z  οὐ* A : οὖν Y  a 5 ἔστι A : ἔτι in marg. A[2]

Ἐγὼ γοῦν ἀκούων αὐτῶν ἠπόρουν καὶ κρίνειν οὐχ οἷός τ'
ἦν· οἱ μὲν γὰρ ἄλλοι ἔφασαν οἱ παρόντες τὸν πρῶτον λέγειν
b ἀληθῆ. εἰ οὖν τι ἔχεις συμβάλλεσθαι μοι περὶ τούτων,
πότερόν ἐστιν ἑνὸς λέγοντος γνῶναι τί λέγει, ἢ προσδεῖται
τοῦ ἀντεροῦντος, εἰ μέλλει τις γνώσεσθαι πότερον ὀρθῶς
λέγει· ἢ οὐκ ἀναγκαῖόν ἐστιν ἀμφοτέρων ἀκούειν. ἢ πῶς
νομίζεις;

Πρῴην τις ἐνεκάλει ἀνθρώπων τινὶ ὅτι αὐτῷ ἀργύριον
χρῆσαι οὐκ ἠθέλησεν οὐδὲ πιστεῦσαι. κἀκεῖνος μὲν ᾧ ἐνε-
κάλει, ἀπελογεῖτο· ἄλλος δέ τις τῶν παρόντων ἠρώτησε τὸν
c ἐγκαλοῦντα πότερον ὁ μὲν μὴ πιστεύσας αὐτῷ μηδὲ χρήσας
ἥμαρτεν· σὺ δ', ἔφη, οὐ πείσας σοι χρῆσαι οὐχ ἡμάρτηκας;
ὁ δέ, Τί γὰρ ἥμαρτον; εἶπεν.—Πότερος δ', ἔφη, σοὶ δοκεῖ
ἁμαρτάνειν; ὁ ἀποτυχὼν ὧν ἤθελεν ἢ ὁ μή;—Ὁ ἀποτυχών,
εἶπεν.—Οὐκοῦν, εἶπεν, σὺ μὲν ἀπέτυχες, χρήσασθαι ἐθέλων;
ὁ δέ σοι μὴ προέσθαι, οὐκ ἀπέτυχε τούτου;—Ναί, εἶπεν· ἀλλ'
ἐγὼ τί ἥμαρτον, καὶ εἰ μὴ ἐκεῖνός μοι ἔδωκεν;—Ὅτι εἰ μὲν
ἐδέου αὐτοῦ, ἔφη, ὧν οὐκ ἐχρῆν, πῶς οὐκ οἴει ἁμαρτάνειν;
d ἐκεῖνος δὲ ὁ μὴ προέμενος ὀρθῶς ἔπραξεν. εἰ δὲ ὧν χρῆν
ἐδέου αὐτοῦ, ἀποτυχὼν τούτου, πῶς οὐχ ἥμαρτες ἐξ ἀνάγκης;—
Ἴσως, εἶπεν. ἀλλ' ἐκεῖνος πῶς οὐχ ἥμαρτεν, ὁ μὴ πιστεύσας
μοι;—Ἆρ' οὖν, ἔφη, εἰ προσωμίλησας αὐτῷ ὡς προσήκει,
οὐκ ἂν ἥμαρτες οὐδέν;—Οὐ γὰρ δή.—Νῦν ἄρα οὐχ ὡς προσ-
ήκει αὐτῷ προσωμίλησας.—Φαίνομαι, εἰπεῖν.—Εἰ οὖν ὡς
μὴ προσήκει ὁμιλοῦντός σου μὴ ἐπείσθη, πῶς ἂν δικαίως
e ἐγκαλοίης ἐκείνῳ;—Οὐκ ἔχω εἰπεῖν.—Οὐδὲ ὅτι τοῖς κακῶς
χρωμένοις οὐ προσεκτέον ἐστὶν ἔχεις εἰπεῖν;—Καὶ μάλ',
ἔφη, τοῦτό γε.—Ἀλλ' οὖν οὐχ οἱ ὡς οὐ προσήκει ὁμιλοῦντες,
ἔφη, κακῶς χρῆσθαί σοι δοκοῦσιν;—Ἔμοιγε, ἔφη.—Τί οὖν
ἥμαρτεν εἴ σοι μὴ προσέσχεν κακῶς χρωμένῳ;—Οὐδὲν φαί-

b 1 ξυμβάλλεσθαι A : ξυμβαλέσθαι Y Z    d 6 εἰπεῖν] εἶπεν O² (ε s.v.)    e 1 οὐδὲ O² (οὐ s.v.): εἰ δὲ A Y Z

νεται, εἰπεῖν.—Τί οὖν ποτε οἱ ἄνθρωποι, ἔφη, τοιαῦτα ἐγκα-
λοῦσιν πρὸς ἀλλήλους, καὶ τοῖς μὲν μὴ πεισθεῖσιν αὐτοῖς
ὅτι οὐκ ἐπείσθησαν μέμφονται, αὐτοῖς δέ, ὅτι οὐκ ἔπεισαν,
οὐδ᾽ ὁτιοῦν ἐγκαλοῦσιν;—Καὶ ἄλλος τις παρών, Ὅταν τε γάρ 385
τις, ἔφη, εὖ χρήσηταί τῳ καὶ βοηθήσῃ, εἶτα ἀξιῶν αὐτῷ
ὁμοίως χρήσασθαι μὴ τυγχάνῃ τούτου, πῶς οὐκ εἰκότως
μέμφοιτ᾽ ἂν ὁ τοιοῦτος;—Οὐκοῦν ἔφη, ὃν ἀξιοῖ ὁμοίως αὐτῷ
χρῆσθαι, ἤτοι δυνατός ἐστιν χρῆσθαι αὐτῷ καλῶς ἢ οὐ δυνα-
τός; καὶ εἰ μὲν μὴ δυνατός ἐστιν, πῶς ἂν καλῶς ἀξιοίη, ἀξιῶν
αὐτὸν ὃ οὐ δυνατός ἐστιν; εἰ δὲ δυνατός ἐστιν, πῶς τοιοῦτον
ἄνθρωπον οὐκ ἔπεισεν; ἢ πῶς τοιαῦτα λέγοντες καλῶς
λέγουσιν;—Ἀλλὰ νὴ Δί᾽, ἔφη, τοῦτο δεῖ ἐγκαλεῖν, ὅπως b
οὗτός τε τοῦ λοιποῦ βέλτιον χρῆται αὐτῷ, καὶ οἱ ἄλλοι φίλοι
ἀκούσαντες αὐτοῦ ἐγκαλοῦντος.—Βέλτιον δὲ χρῆσθαι, ἔφη,
οἴει τινὰς ἀκούοντας ὀρθῶς λέγοντος καὶ ἀξιοῦντος, ἢ ἁμαρ-
τάνοντος;—Ὀρθῶς λέγοντος, ἔφη.—Ὁ δέ γε οὐκ ὀρθῶς
ἀξιοῦν ἐδόκει σοι;—Ναί, ἔφη.—Πῶς οὖν ἀκούοντες τοιαῦτα
ἐγκαλοῦντος βέλτιον χρήσονται;—Οὐδαμῶς, ἔφη.—Τοῦ οὖν
ἕνεκα τοιαῦτά τις ἐγκαλεῖ;—Ἀνευρεῖν ἔφη οὐκ ἂν δύνασθαι. c

Ἀνθρώπου τις κατηγόρει εὐήθειαν ὅτι ταχέως καὶ τοῖς
τυχοῦσιν ἀνθρώποις λέγουσι πιστεύοι. πολίταις μὲν γὰρ καὶ
οἰκείοις λέγουσιν πιστεύειν εἰκός ἐστιν· τοιούτοις δ᾽ ἀνθρώ-
ποις οὓς οὔτε εἶδεν οὔτε ἤκουσεν πρότερον αὐτῶν, πιστεύειν,
καὶ ταῦτα οὐκ ἀγνοοῦντα ὅτι οἱ πλεῖστοι τῶν ἀνθρώπων
εἰσὶν ἀλαζόνες καὶ πονηροί, ἠλιθιότητος σημεῖον οὐ σμικρὸν
εἶναι. Καὶ τῶν παρόντων τις ἔφη, Ἐγὼ δὲ ᾤμην σὲ τὸν d
ταχὺ καὶ τοῦ τυχόντος ἂν αἰσθανόμενον πολλοῦ νομίζειν ἄξιον
εἶναι μᾶλλον ἢ τὸν βραδέως.—Καὶ γὰρ νομίζω, εἶπεν ἐκεῖνος.
—Τί οὖν, ἔφη, ἐγκαλεῖς εἰ ταχὺ καὶ τοῖς τυχοῦσιν πιστεύει
τἀληθῆ λέγουσιν;—Ἀλλ᾽ οὐ τοῦτο ἐγκαλῶ, εἰπεῖν, ἀλλ᾽ ὅτι

e 6 εἰπεῖν] εἶπεν O² (ε s.v.) a 5 ἤτοι O² (η et οι s.v.): εἴτε A Y Z a 6 ἀξιώῃ A Y Z b 3 χρῆσθαι] χρήσεσθαι vulg. b 7 τοῦ οὖν Z et in marg. γρ. A²: τί οὖν A Y c 1 ἐγκαλεῖ Y: ἐγκαλοῖ A Z d 5 εἰπεῖν] εἶπεν (ε s.v.) O² et mox e 1, e 5, e 8

*πιστεύει ταχέως ψευδῆ λέγουσιν.—Εἰ δ' ἐν πλείονι χρόνῳ καὶ οὐ τοῖς τυχοῦσιν ἐπίστευε καὶ ᾐτιᾶτο, οὐκ ἂν ἐνεκάλεσας αὐτῷ μᾶλλον;—Ἔγωγ' ἄν, εἰπεῖν.—Ἆρα διότι γε βραδέως*
e *καὶ οὐ τοῖς τυχοῦσιν ἐπίστευεν;—Μὰ Δί', εἶπεν.—Οὐ γὰρ οἶμαί γ', ἔφη, διὰ τοῦτ' ἐγκαλεῖν ἀνθρώπῳ ἄξιον εἶναι ὑπολαμβάνεις, ἀλλὰ διότι πιστεύει λέγουσιν ἄπιστα.—Ἔγωγ', εἰπεῖν.—Πότερον οὖν, ἔφη, διὰ μὲν τὸ βραδέως καὶ μὴ τοῖς τυχοῦσιν πιστεύειν οὐκ οἴει ἄξιον εἶναι ἐγκαλεῖν αὐτῷ, διὰ δὲ τὸ ταχέως καὶ τοῖς τυχοῦσι πιστεύειν ἄξιον;—Οὐκ ἔγωγ', εἰπεῖν.—Τί οὖν, ἔφη, ἐγκαλεῖς αὐτῷ;—Ὅτι ἁμαρτάνει, πρὸ τοῦ σκέψασθαι ταχέως πιστεύων τοῖς τυχοῦσιν.—Ἀλλ' εἰ*
386 *βραδέως ἐπίστευσεν πρὸ τοῦ σκέψασθαι, οὐκ ἂν ἡμάρτανεν;—Μὰ Δί', εἶπεν, ἀλλὰ καὶ οὕτως ἡμάρτανεν ἂν οὐδὲν ἧττον. ἀλλ' οὐ τοῖς τυχοῦσιν οἶμαι δεῖν πιστεύειν.—Εἰ δὲ μὴ πιστεύειν τοῖς τυχοῦσιν, ἔφη, οἴει δεῖν, ἀλλὰ τοῖς ἀγνῶσιν πῶς προσήκει ταχέως πιστεύειν; ἀλλὰ πρότερον οἴει δεῖν σκέψασθαι εἰ ἀληθῆ λέγουσιν.—Ἔγωγ', εἶπεν.—Ἐπεὶ οἰκείων καὶ συνήθων, ἔφη, ὄντων οὐ δεῖ σκοπεῖσθαι εἰ λέγουσιν ἀληθῆ.—Ἐγὼ μὲν φαίην ἄν, εἰπεῖν.—Ἴσως γὰρ καὶ τούτων τινές, ἔφη, λέγουσιν ἄπιστα.—Καὶ μάλα, εἶπεν.—Τί οὖν*
b *μᾶλλον, ἔφη, τοῖς οἰκείοις καὶ συνήθεσιν εἰκὸς πιστεύειν, ἢ τοῖς τυχοῦσίν ἐστιν;—Οὐκ ἔχω, ἔφη, εἰπεῖν.—Τί δ'; εἰ οὐ μᾶλλον τοῖς οἰκείοις πιστεύειν δεῖ ἢ τοῖς τυχοῦσιν, οὐκ ἀπίστους αὐτοὺς δεῖ νομίζειν μᾶλλον ἢ τοὺς τυχόντας;—Πῶς γὰρ οὔκ; ἔφη.—Ἐὰν οὖν τοῖς μὲν οἰκεῖοι ὦσιν, τοῖς δ' ἀγνῶτες, πῶς οὐ δεήσει τοὺς αὐτοὺς μᾶλλον αὐτῷ πιστοὺς νομίζειν; οὐ γὰρ ὁμοίως πιστοὺς αὐτοὺς δεῖ νομίζειν τοὺς οἰκείους καὶ τοὺς ἀγνῶτας, ὡς φῄς.—Οὐκ ἀρέσκει μοι, εἰπεῖν.—Ὁμοίως δ', ἔφη, καὶ τὰ λεγόμενα ὑπ' αὐτῶν οἱ μὲν πιστεύουσιν, οἱ δ' οὐ πιστὰ ἡγήσονται, καὶ οὐδέτεροι ἁμαρτήσονται αὐτῶν.—Ἄτοπον καὶ τοῦτ', εἰπεῖν.—Ἔπειτα, ἔφη,*

a 3 *ἀλλ' οὐ* Z : *ἀλλὰ καὶ* A Y    a 8 *εἰπεῖν*] *εἶπεν* O[2] (*ε* s. v.) et mox b 8    b 2 *εἰ οὐ*] *εἰ* A Y Z    b 3 *δεῖ* Z : *δεῖν* A Y    *οὐκ ἀπίστους*] *οὐ καὶ πιστοὺς* ci. Schneider    b 6 *αὐτῷ*] *αὐτῶν* ci. Schneider    b 9 *ἔφη* scr. Ven. 184 : *ἔφην* A Y Z

εἰ ταὐτὰ λέγουσιν οἱ οἰκεῖοι καὶ οἱ τυχόντες, πῶς οὐχ ὁμοίως
τὰ λεγόμενα πιστὰ εἴη ἂν ἢ ἄπιστα;—Ἀνάγκη, εἶπεν.— c
Οὐκοῦν καὶ τοῖς λέγουσιν αὐτὰ ὁμοίως πιστευτέον λέγουσιν
αὐτά;—Πιθανόν, εἶπεν.

Ταῦτ' οὖν λεγόντων αὐτῶν ἠπόρουν τίσιν ποτὲ δεῖ πιστεύειν
καὶ τίσιν οὔ, καὶ πότερον τοῖς πιστοῖς καὶ τοῖς εἰδόσι περὶ
ὧν λέγουσιν ἢ τοῖς οἰκείοις καὶ τοῖς γνωρίμοις. περὶ τούτων
οὖν πῶς σὺ νομίζεις;

# ΣΙΣΥΦΟΣ

St. III p. 387

## ΣΩΚΡΑΤΗΣ ΣΙΣΥΦΟΣ

ΣΩ. Ἡμεῖς δὲ καὶ χθές σε πολὺν χρόνον ἀνεμείναμεν, ὦ b
Σίσυφε, ἐπὶ τῇ Στρατονίκου ἐπιδείξει, ὅπως ἂν συνηκροῶ ἡμῖν
ἀνδρὸς σοφοῦ πολλά τε καὶ καλὰ ἐπιδεικνυμένου πράγματα
καὶ λόγῳ καὶ ἔργῳ, καὶ ἐπεὶ σὲ οὐκέτι ᾠόμεθα παρέσεσθαι,
αὐτοὶ ἤδη ἠκροώμεθα τἀνδρός.

ΣΙ. Ναὶ μὰ τὸν Δία· ἀσχολία γάρ μοί τις ἐγένετο
ἀναγκαιοτέρα, ὥστε μὴ παραμελῆσαι αὐτῆς. οἱ γὰρ ἄρχοντες
ἡμῶν ἐβουλεύοντο χθές· συμβουλεύειν οὖν αὐτοῖς ἠνάγκαζόν c
με. ἡμῖν δὲ τοῖς Φαρσαλίοις καὶ νόμος ἐστὶ τοῖς ἄρχουσι
πείθεσθαι, ἂν κελεύωσι συμβουλεύειν τινὰ ἡμῶν αὐτοῖς.

ΣΩ. Ἀλλὰ καλὸν τό τε τῷ νόμῳ πείθεσθαι, τό τε ὑπὸ
τῶν πολιτῶν δεδοξάσθαι εὔβουλον εἶναι, ὥσπερ καὶ σὺ
δεδόξασαι εὔβουλος εἶναι εἷς τῶν Φαρσαλίων. ἀτάρ, ὦ
Σίσυφε, ἐγὼ γὰρ οὔπω περὶ τοῦ εὖ βουλεύεσθαι τοὺς λόγους
ἂν δυναίμην ποιήσασθαι πρὸς σέ, ἡγούμενος καὶ σχολῆς εἶναι d
πολλῆς καὶ λόγου μακροῦ, ἀλλὰ περὶ αὐτοῦ τοῦ βουλεύεσθαι
πρῶτον, ὅτι ἔστιν, ἐγχειρήσαιμ' ἂν διαλεχθῆναί σοι. ἆρ' οὖν

387 c 1 αὐτοῖς libri  d 3 πρῶτον A Z · om. Y